ἡ δὲ ἀγάπη οἰκοδομεῖ, διὰ τὸ πάντα ὑπομένειν:

πε Τὰ τῆς θείας γραφῆς τὰ ῥητὰ, διὰ πράξεων ἀ-
ναγίνωσκε, καὶ μὴ πλατυλογῶν ἐπὶ ψιλοῖς
πϛ τοῖς νοήμασι φυσιοῦ: Ὁ ἀφεὶς τὴν πρᾶξιν
καὶ ψιλῇ τῇ γνώσει ἐπερειδόμενος, ἀντὶ δισστό-
μου μαχαίρας, καλαμίνην ῥάβδον κατέχει· ἥτις
ἐν καιρῷ πολέμου κατὰ τὴν γραφὴν τρήσει τὴν
χεῖρα αὐτοῦ· καὶ εἰσελεύσεται εἰς αὐτὴν· τὸν ἰὸν
τῆς φύσεως πρὸ τῶν πολεμίων ἐμβαλοῦσα:
πζ Μέτρον ἔχει καὶ σταθμὸν πρὸς ἀλήθειαν πᾶσα ἔννοι-
α· ἔστι γὰρ τὸ αὐτὸ ἢ ἐμπαθῶς· ἢ μονοτρόπως λο-
πη γίσασθαι: Ὁ ποιῶν ἐντολὴν, ἐκδεχέσθω τὸν ὑ-
πὲρ αὐτῆς πειρασμόν· ἡ γὰρ διὰ τῶν ἐναντίων
πθ δοκιμάζεται: Μὴ καταφρόνει τῶν ἐν λογισμῷ
ἀμελειῶν· ἀλάθητος γάρ ἐστιν ὁ θεὸς ἐπὶ πάσης ἐννοίας:
ϙ Ὅταν διὰ λογισμῶν ἀνθρώπινον δόξαν ὑποφέρῃ,
γίνωσκε σαφῶς, ὅτι αἰσχύνην σοι κατασκευάζει:
ϙα Ἐπίσταται ὁ ἐχθρὸς τὸν τοῦ νόμου τὸ δίκαιον·
καὶ ζητεῖ μόνης τῆς διανοίας συγκατάθεσιν· οὕτω
γὰρ ἢ τοῖς τῆς μετανοίας πόνοις ὑπεύθυνον